Scholia on Aelius Aristides: Sacred Tales II by Scholia on Aelius Aristides

2 *ΙΕΡΟΣ ΛΟΓΟΣ Β΄.*

2.297,19 ὄξει διειμένον ἀντὶ τοῦ πεφυρμένον, συνεφθαρμένον.

2.300,4 ἀπῶζε δὲ καὶ τῆς αἰγίδος ὅτι ἥδιστον ἴδε ἐμβροντησίαν καὶ ἐμπληξίαν ἀνθρώπου, καὶ ταῦτα δόξαν σοφοῦ ἔχοντος.

2.300,5 ἐφαίνετο μὲν δὴ μόνῳ μόνῳ ἐφαίνετο, ἅτε καὶ μόνῳ παραφρονοῦντι.

2.300,11 ἀνεμίμνησκέ με τῆς Ὀδυσσείας, καὶ ἔφασκεν καὶ τί τούτων ἄξιον θεοφανείας, ἤ τινος οἱ λόγοι σωφροσύνης ἐχόμενοι, ἀλλ᾽ οὐχὶ λήρου μακροῦ καὶ φασματοφανείας προσήκοντες.

2.300,19 κατὰ μικρὸν οὕτω συνηγειρόμην μόλις τε καὶ χαλεπῶς καλῶς γε τοῦτο μόνον εἰσελθὸν, ὡς ἂν ἀποκαθάρῃ τὴν φαντασιοκοποῦσαν κόπρον, καὶ πρὸς τὸ φρονεῖν τε καὶ σωφρονεῖν ἐπαναχθείης, εἰ καὶ μηδὲ ὄντως τῷ δέοντι μετεγένου.

2.302,22 ἔπεμψέ με λυσόμενον θαλάττῃ ὡς ἔοικεν, ἀντὶ χηνὸς ἀθύρματί σοι ἐκέχρητο, Ἀριστείδη, ὁ θαυμαστός σου θεὸς, Ἀσκληπιὸς, τοσούτοις λουτροῖς σε διάγων.

2.304,3 εἰ δὴ ταῦτά τις προσλογίσαιτο ἐπανάληψις.

---

https://eulogikon.org/works/scholia-aelius-aristides-sacred-tales-ii-yds-ad · eul_wid yds-ad · Diogenes Lab reading page 63dd8a1ad316